γυναικὸς ἢ ζῶν μακάριον κτήσει λέχος.
ΠΥ. εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
ΟΡ. ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.
ΗΛ. καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
ΟΡ. καλῶς· σὺ μὲν νῦν, σύγγον' Ἠλέκτρα, δόμων
πάρος μένουσα παρθένου δέχου πόδα,
φύλασσε δ' ἤν τις, πρὶν τελευτηθῇ φόνος,
ἢ ξύμμαχός τις ἢ κασίγνητος πατρὸς
ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' εἰς δόμους,
ἢ σανίδα παίσασ' ἢ λόγους πέμψασ' ἔσω·
ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
Πυλάδη· σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
καλῶ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖν
τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας
ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν,
δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.
ΗΛ. ὦ πάτερ, ἱκοῦ δῆτ', εἰ κλύεις εἴσω χθονὸς
τέκνων καλούντων, οἳ σέθεν θνήσκουσ' ὕπερ.
ΠΥ. ὦ συγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτάς,
Ἀγάμεμνον, εἰσάκουσον· ἔκσωσον τέκνα.
ΟΡ. ἔκτεινα μητέρ', ΠΥ. ἡψάμην δ' ἐγὼ ξίφους.
ΗΛ. ἐγὼ δ' ἐπεβούλευσα κἀπέλυσ' ὄκνου.
ΟΡ. σοί, πάτερ, ἀρήγων. ΗΛ. οὐδ' ἐγὼ προύδωκά σε.

---

1215. αὐτῇ C 1220. τ' ἐν δόμοις A δ' εἰς δόμους F τ' εἰς δόμους Ec δ' εἰς δόμους C 1221. σανίδας F C 1226. καλῶ] Cobetus, καλεῖ libri. 1229. schol.: ἐν τῷ ἀντιγράφῳ (adde οὐ) φέρονται οὗτοι οἱ δ̄ ἴαμβοι, καὶ (quod delendum) ἐν ἄλλῳ (l. ἄλλοις) δέ· 1236. ἐγὼ δ' ἐπεκέλευσα a ἐγὼ δ' (κἀγὼ δ' F) ἐπεβούλευσα ceteri.